ὀνομάτων αὐτῶν, ἐγγεγραμμένα εἰς σφραγῖδας, ἕκαστος ἐκ τοῦ
ἑαυτοῦ ὀνόματος, εἰς τὰς δώδεκα φυλάς. [22]καὶ ἐποίησαν ἐπὶ τὸ 22
λογεῖον κροσσοὺς συμπεπλεγμένους, ἔργον ἐμπλοκίου ἐκ χρυσίου
καθαροῦ· [23]καὶ ἐποίησαν δύο ἀσπιδίσκας χρυσᾶς καὶ δύο δακτυ- 23
λίους χρυσοῦς καὶ ἐπέθηκαν τοὺς δύο δακτυλίους τοὺς χρυσοῦς
ἐπ᾽ ἀμφοτέρας τὰς ἀρχὰς τοῦ λογείου· [24]καὶ ἐπέθηκαν τὰ ἐμπλό- 24
κια ἐκ χρυσίου ἐπὶ τοὺς δακτυλίους ἐπ᾽ ἀμφοτέρων τῶν μερῶν τοῦ
λογείου [25]καὶ εἰς τὰς δύο συμβολὰς τὰ δύο ἐμπλόκια καὶ ἐπέθη- 25
καν ἐπὶ τὰς δύο ἀσπιδίσκας καὶ ἐπέθηκαν ἐπὶ τοὺς ὤμους τῆς
ἐπωμίδος ἐξ ἐναντίας κατὰ πρόσωπον. [26]καὶ ἐποίησαν δύο δακτυ- 26
λίους χρυσοῦς καὶ ἐπέθηκαν ἐπὶ τὰ δύο πτερύγια ἐπ᾽ ἄκρου τοῦ
λογείου ἐπὶ τὸ ἄκρον τοῦ ὀπισθίου τῆς ἐπωμίδος ἔσωθεν. [27]καὶ 27
ἐποίησαν δύο δακτυλίους χρυσοῦς καὶ ἐπέθηκαν ἐπ᾽ ἀμφοτέρους
τοὺς ὤμους τῆς ἐπωμίδος κάτωθεν αὐτοῦ κατὰ πρόσωπον κατὰ
τὴν συμβολὴν ἄνωθεν τῆς συνυφῆς τῆς ἐπωμίδος. [28]καὶ συνέ- 28
σφιγξεν τὸ λογεῖον ἀπὸ τῶν δακτυλίων τῶν ἐπ᾽ αὐτοῦ εἰς τοὺς
δακτυλίους τῆς ἐπωμίδος, συνεχομένους ἐκ τῆς ὑακίνθου, συμπε-
πλεγμένους εἰς τὸ ὕφασμα τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται τὸ λο-
γεῖον ἀπὸ τῆς ἐπωμίδος, καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ.

[29]Καὶ ἐποίησαν τὸν ὑποδύτην ὑπὸ τὴν ἐπωμίδα, ἔργον ὑφαντὸν 29
ὅλον ὑακίνθινον· [30]τὸ δὲ περιστόμιον τοῦ ὑποδύτου ἐν τῷ μέσῳ 30
διυφασμένον συμπλεκτόν, ᾤαν ἔχον κύκλῳ τὸ περιστόμιον ἀδιά-
λυτον. [31]καὶ ἐποίησαν ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κάτωθεν ὡς 31
ἐξανθούσης ῥόας ῥοίσκους ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου
νενησμένου καὶ βύσσου κεκλωσμένης [32]καὶ ἐποίησαν κώδωνας 32
χρυσοῦς καὶ ἐπέθηκαν τοὺς κώδωνας ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου
κύκλῳ ἀνὰ μέσον τῶν ῥοίσκων· [33]κώδων χρυσοῦς καὶ ῥοίσκος 33
ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ εἰς τὸ λειτουργεῖν, καθὰ
συνέταξεν κύριος τῷ Μωυσῇ.

[34]Καὶ ἐποίησαν χιτῶνας βυσσίνους ἔργον ὑφαντὸν Ααρων καὶ 34
τοῖς υἱοῖς αὐτοῦ [35]καὶ τὰς κιδάρεις ἐκ βύσσου καὶ τὴν μίτραν ἐκ 35
βύσσου καὶ τὰ περισκελῆ ἐκ βύσσου κεκλωσμένης [36]καὶ τὰς ζώνας 36
αὐτῶν ἐκ βύσσου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενη-
σμένου, ἔργον ποικιλτοῦ, ὃν τρόπον συνέταξεν κύριος τῷ Μωυσῇ.

[37]Καὶ ἐποίησαν τὸ πέταλον τὸ χρυσοῦν, ἀφόρισμα τοῦ ἁγίου, 37
χρυσίου καθαροῦ· καὶ ἔγραψεν ἐπ᾽ αὐτοῦ γράμματα ἐκτετυπωμένα

21 εγγεγραμμενα εις σφραγιδας] εγγεγλυμμενα σφραγιδες A || 24 δακτυλιους] pr. δυο A | επ] εξ A || 25 fin.] + αυτου A || 26 επι ult.] pr. και B || 27 επωμιδος $1^{0} \frown 2^{0}$ B† || 28 επωμιδος $2^{0} \frown 3^{0}$ B*† || 30 διαλυτον A || 35 βυσσου $2^{0} \frown 3^{0}$ B*† | τα > A† || 37 γραμματα] pr. τα A† | εντετυπ. A†